liquo nanque ad aliquid transmutatio. At verò, nec omnia quiescunt, aut mouentur aliquando, semper verò nihil. Est enim quiddã, quod semper mouet ea, quæ mouentur: & primum mouens, ipsum immobile est.

# ARISTOTELIS METAPHYSICORVM LIBER QVARTVS.

## CAPVT I.

PRincipium, hoc quidem dicitur illud rei, à quo quis primùm mouetur: vt puta, magnitudinis, & viæ: hinc quidem hoc principium est. Ex opposito verò aliud principium est illud vnde quodque optimè fit: vt doctrinæ, non à primo, ac rei principio aliquando inchoandum est, sed vnde quis faciliùs discat. Aliud autem, à quo primo insito fit: vt nauis, carina: & domus, fundamentum: animalium quoque quidam cor, quidam cerebrum: quidam quodcunque tale contingit, putant. Aliud verò à quo primo non insito fit: & à quo primo natura aptus est motus, & transmutatio inchoari, vt proles, ex patre & matre, & bellum ex contumelia. Aliud porro id, ad cuius electionem mouentur, quæ mouentur, & mutantur, quę mutantur: quemadmodum ciuitatum principatus, potentiæ, regna, & tyrannides principia dicuntur: etiam artes, & ex his maximè architectonicæ. Item vnde primum res cognita est, illud quoque principium rei dicitur: vt puta, demonstrationum suppositiones. Toties autem causæ quoque dicuntur: omnes nanque causæ, principia. Omnibus igitur principiis commune est, esse primum, vnde aut est, aut fit, aut cognoscitur. Horum verò quædam intrinsecus, quædam extrinsecus sunt. Quare natura quoque principiũ est, & elementum, mens etiam & electio, & substantia, & quod cuius causa. Multis etenim & cognitionis, & motus principium ipsum bonum & malum.

## CAPVT II.

CAusa verò vno modo dicitur, ex qua insita aliquid fit, vt æs, statuæ, & argentum, pateræ, & horum genera. Alio verò, species, & exemplar. Hæc autem est ratio eius, quod quid erat esse, & horum genera: vt ipsius diapason, duo ad

A ταβάλλειν ἔκ τινος γὰρ εἴς τι ἡ μεταβολή. ἀλλὰ μὴν οὐδὲ πάντα ἠρεμεῖ ἢ κινεῖταί ποτε· ἀεὶ δ' οὐθέν· ἔστι γάρ τι ὃ ἀεὶ κινεῖ τὰ κινούμενα· καὶ τὸ πρῶτον κινοῦν, ἀκίνητον αὐτό.

# ΑΡΙΣΤΟΤΕΛΟΥΣ τῶν μετὰ τὰ φισικὰ τὸ Δ.

B

## Κεφάλαιον α.

ΑΡχὴ ἡ μὲν λέγεται, ὅθεν ἄν τι τοῦ πράγματος κινηθείη πρῶτον, οἷον, τοῦ μήκους, καὶ ὁδοῦ. ἐντεῦθεν μὲν αὕτη ἀρχή, ἐξ ἐναντίας δ' ἑτέρα. ἡ δέ, ὅθεν ἂν κάλλιστα ἕκαστον γένοιτο· οἷον καὶ μαθήσεως, οὐκ ἀπὸ τοῦ πρώτου καὶ τῆς τοῦ πράγματος ἀρχῆς ἐνίοτε ἀρκτέον, ἀλλ' ὅθεν ῥᾷστ' ἂν μάθοι. ἡ δέ, ὅθεν πρῶτον γίνεται ἐνυπάρχοντος·
C οἷον ὡς πλοίου τρόπις, καὶ οἰκίας θεμέλιος· καὶ τῶν ζώων οἱ μὲν καρδίαν, οἱ δὲ ἐγκέφαλον, οἱ δ' ὅ,τι ἂν τύχωσι τοιοῦτον ὑπολαμβάνουσιν. ἡ δέ, ὅθεν γίγνεται πρῶτον μὴ ἐνυπάρχοντος, καὶ ὅθεν πρῶτον ἡ κίνησις πέφυκεν ἄρχεσθαι, καὶ ἡ μεταβολή· οἷον τὸ τέκνον ἐκ τοῦ πατρὸς καὶ τῆς μητρός, καὶ ἡ μάχη ἐκ τῆς λοιδορίας. ἡ δέ, οὗ κατὰ προαίρεσιν κινεῖται τὰ κινούμενα, καὶ μεταβάλλει τὰ μετα-
D βάλλοντα, ὥσπερ αἵ τε κατὰ πόλεις ἀρχαὶ καὶ αἱ δυναστεῖαι, καὶ αἱ βασιλεῖαι, καὶ τυραννίδες. ἀρχαὶ λέγονται καὶ αἱ τέχναι, καὶ τούτων αἱ ἀρχιτεκτονικαὶ μάλιστα. ἔτι ὅθεν γνωστὸν τὸ πρᾶγμα πρῶτον, καὶ αὕτη ἀρχὴ λέγεται τοῦ πράγματος· οἷον τῶν ἀποδείξεων αἱ ὑποθέσεις. ἰσαχῶς δὲ καὶ τὰ αἴτια λέγεται· πάντα γὰρ τὰ αἴτια ἀρχαί. πασῶν μὲν οὖν κοι-
E νὸν τῶν ἀρχῶν, τὸ πρῶτον εἶναι, ὅθεν ἢ ἔστιν, ἢ γίνεται, ἢ γιγνώσκεται. τούτων δὲ αἱ μὲν ἐνυπάρχουσαί εἰσιν, αἱ δὲ ἐκτός. διὸ ἥ τε φύσις ἀρχή, καὶ τὸ στοιχεῖον, καὶ διάνοια, καὶ ἡ προαίρεσις καὶ οὐσία, καὶ τὸ οὗ ἕνεκα. πολλῶν γὰρ καὶ τοῦ γνῶναι καὶ τῆς κινήσεως ἀρχή, τἀγαθὸν καὶ τὸ κακόν.

## Κεφάλαιον β.

F ΑΙτιον δὲ λέγεται ἕνα μὲν τρόπον, ἐξ οὗ γίνεταί τι ἐνυπάρχοντος, οἷον ὁ χαλκὸς τοῦ ἀνδριάντος, καὶ ὁ ἄργυρος τῆς φιάλης, καὶ τὰ τούτων γένη. ἄλλον δέ, τὸ εἶδος, καὶ τὸ παράδειγμα· τοῦτο δ' ἐστὶν ὁ λόγος τοῦ τί ἦν εἶναι, καὶ τὰ τούτων γένη· οἷον τοῦ διὰ πασῶν τὰ δύο

πρὸς